www.tezaurliturgic.ro

# Ἀκολουθία τοῦ Ἁγίου Νεομάρτυρος Ἀποστόλου τοῦ ἐκ κωμοπόλεως τοῦ Πηλίου Ὄρους καταγομένου καὶ ἐν Κωνσταντινουπόλει ἀθλήσαντος ἐν ἔτει σωτηρίῳ ᾳχπς' (1686 μ.Χ.



Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἰλαρίωνος μοναχοῦ Ξενοφωντινοῦ
Σκητιώτου

2018

Ἀκολουθία τοῦ Ἁγίου Νεομάρτυρος Ἀποστόλου τοῦ ἐκ κωμοπόλεως τοῦ Πηλίου Ὄρους καταγομένου, καὶ ἐν Κωνσταντινουπόλει ἀθλήσαντος, ἐν ἔτει σωτηρίῳ ᾳχπς´ (1686 μ.Χ.)

Προσόμια εἰς τὸν Ἑσπερινόν, ἦχος α´ Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυς τοῦ Χριστοῦ Ἀπόστολε, Θετταλίας σεπτόν, καὶ εὐῶδες βλάστημα, καὶ πάντων τῶν εὐσεβῶν, τὸ ἐγκαλώπισμα· ἡ μνήμη σου συγκαλεῖ, τῶν φιλεόρτων συστήματα ἔνδοξε, ἐν ὕμνοις πνευματικοῖς, ἀγαλλιώμενοι τούτῳ βοήσωμεν· ὁ τῆς ἀληθείας κῆρυξ, μέσον ἡμῶν πάρεσο, ἐνισχύων εὐχαῖς σου, ταῖς πρὸς Κύριον τρισόλβιε.

Δεῦτε τῶν πιστῶν ὁ σύλλογος, ἐν ψαλμοῖς καὶ ὕμνοις, φαιδρῶς ἀλαλάξωμεν· Ἀπόστολε σεαυτόν, θῦμα προσέφερες, Χριστῷ τῷ Παμβασιλεῖ, ὡς καθαρώτατον καὶ εὐωδέστατον, ἐλέγξας Ἀγαρηνῶν, τὴν ἀθεώτατον πλάνην πανεύφημε, καὶ νῦν μετὰ τῶν Ἀγγέλων, συγχορεύων μέμνησο, τῶν πιστῶς ἐκτελούντων, τὴν πανένδοξόν σου ἄθλησιν.

Χαίροις στρατιῶτα ἔνδοξε, τοῦ Χριστοῦ καὶ Θεοῦ, Βυζαντίδος καύχημα, ὡς ἄστρον ἑωθινόν, μάκαρ τοῖς

ἄθλοις σου, ἐκλάμψας φωταγωγῶν, τὰς τῶν πιστῶν διανοίας Ἀπόστολε, τὴν κάραν σου τὴν σεπτήν, πηγὴν ἐνδείξας θαυμάτων ἀκένωτον· τῶν νεομαρτύρων κλέος, τὸν Χριστὸν ἱκέτευε, πειρασμῶν λυτρωθῆναι, τοὺς ἐν πόθῳ εὐφημοῦντάς σε.

### Ἕτερα. Ποίοις εὐφημιῶν· ἦχος β΄

Ποίοις εὐφημιῶν ἄσμασι, ἐπαινέσωμεν τὸν ἀθλοφόρον, τὸ τῆς Ἐκκλησίας προπύργιον, καὶ φιλομαρτύρων ἐντρύφημα, τὸν τῆς ἀσεβείας καθαιρέτην· τῆς Ἄγαρ, τοὺς ἀπογόνους τὸν αἰσχύνοντα, καὶ πλάνην, τούτων λαμπρῶς τὸν στηλιτεύσαντα, καὶ τὴν ἀμώμητον πίστιν, καθομολογήσαντα, τὸν πρεσβεύοντα ἐκτενῶς, Χριστῷ τῷ Θεῷ ἡμῶν, δωρηθῆναι τὸ μέγα ἔλεος.

Ποίοις ἐν ἱεροῖς μέλεσι, τὸν γενναῖον ἀναδήσωμεν ὁπλίτην, τοῦ Χριστοῦ καὶ νέον ἐκλάμποντα, τοῖς τῶν ἀθλοφόρων στρατεύμασι, τὸν τῆς Ἐκκλησίας μαργαρίτην· τὸν λόγοις ἐνθέοις πλάνην διασείσαντα, καὶ σκότος τῆς ἀσεβείας διαλύσαντα, τῇ τῶν αἱμάτων ἐκχύσει, καὶ νῦν παρεστῶτα, τῷ Χριστῷ ἐν τοῖς οὐρανοῖς, αὐτὸν ἱλεούμενος, ἡμῖν πᾶσι τὸν φιλάνθρωπον.

Ἄνω τῶν ἐκλεκτῶν ἅγιε, ἐν σκηναῖς παρίστασαι τῷ Κτίστῃ, περιβεβλημένος ἱμάτια, ἐρυθροβαφῆ τῶν αἱμάτων σου, τῇ ῥοῇ τρισμάκαρ φοινιχθέντα, μὴ παύσῃ, αὐτῷ

πρεσβεύων ἐκλυτρώσασθαι, κινδύνων, ἡμᾶς καὶ θλίψεων Ἀπόστολε, καὶ οὐρανῶν Βασιλείας, ἀξιῶσαι μάκαρ, τοὺς τὴν μνήμην τὴν ἱεράν, τὴν σὴν καὶ χαρμόσυνον, εὐλαβῶς πανηγυρίζοντας.

Δόξα. Ἦχος πλ.β΄.

Σήμερον, τῶν φιλεόρτων τὰ πλήθη, τὴν σεβάσμιον ἄθλησιν, τοῦ νέου ἀθλοφόρου, συνελθόντες φαιδρῶς πανηγυρίσωμεν· καὶ μαρτυρικοῖς αὐτὸν ἐγκωμίοις, καταστέφοντες, οὕτως εἴπωμεν· χαίροις, στρατιῶτα τοῦ ἐπουρανίου Βασιλέως, καλλίνικε Ἀπόστολε· χαίροις, ὁ τοῦ αἵματος τῇ ἐκχύσει, τῶν ἀπογόνων τῆς Ἄγαρ, πλάνην καταισχύνας τὴν ἄθεον· χαίροις ὁ ἐν δόξῃ παρεστὼς τῷ θρόνῳ τῆς μεγαλωσύνης, καὶ σὺν Ἀγγέλοις ἀναμέλπων Χριστῷ τῷ Θεῷ, τὸν τρισάγιον ὕμνον· αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, τῆς Θετταλίας τὸ μέγα, καὶ κυριώνυμον ὄρος, τῷ ἐκβλαστῆσαν καὶ ἐκθρέψαν Πήλιον, καὶ τῷ Χριστῷ παραπέμψαν, ἐν ἱματισμῷ πεφοινιγμένῳ, τὸν κλεινὸν νεομάρτυρα· οὗτος γὰρ τῆς εὐσεβείας τοῖς ὅπλοις, τὴν ψυχὴν καθωπλισμένος, καὶ τῇ τοῦ σώματος

ἀπεκδύσει, τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, παρεμβολὰς ἐξηκόντισε· πρὸς αὐτὸν νῦν βοήσωμεν, ἐν εὐσήμῳ ἑορτῆς ἡμέρᾳ, Ἀπόστολε μάρτυς, διαφύλαττε ἀλώβητον, τὴν τιμῶσάν σε ὀρθόδοξον ποίμνην, ταῖς ἀεννάοις ἱκεσίαις σου.

### Ἕτερον. Ἦχος β΄.

Τὸν τῶν Ἀποστόλων ὁμώνυμον, καὶ τῆς εὐσεβείας ὑπέρμαχον· τὸν τῆς ἀσεβείας ὀλετῆρα, καὶ τῶν νοσούντων ἰατῆρα, καὶ πρεσβευτὴν τῶν ἐπικαλουμένων, πρὸς Χριστὸν ἑτοιμότατον· Ἀπόστολον τὸ νεόβλαστον καύχημα, τῆς Ἐκκλησίας τῶν πιστῶν, καὶ ἀήττητον ἀριστέα, καὶ τῆς πίστεως πρόμαχον· ἐν ψαλμικαῖς ὑμνῳδίαις αὐτῷ προσείπωμεν· ὡς θαυμαστὸς ὁ Κύριος, ἐν τοῖς Ἁγίοις αὐτοῦ· καὶ τὸ μνημόσυνόν σου, ἔσται αἰώνιον.

### Ἕτερον. Ἦχος δ΄.

Ἑορτάσωμεν πιστῶν ἡ πληθὺς χαρμονικῶς, τοῦ νεομάρτυρος τὴν θείαν πανήγυριν· καὶ πνευματικῶς εὐωχηθῶμεν· ᾄδοντες μελῳδικῶς, τῆς ἐπετείου αὐτοῦ μνήμης τὰ ἐπινίκια· ᾧ καὶ ἐκβοήσωμεν, τῶν δεομένων σου πιστῶς, τὰς αἰτήσεις πλήρωσον Ἀπόστολε σοφέ, ὡς λαμπρὸς τρισαριστεύς, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Δόξα. Ἦχος πλ.α΄.

Ὢ τῆς ἀρρήτου εὐσπλαγχνίας σου Χριστέ· πῶς νεανίσκῳ ἐδωρήσω τὴν χάριν, καταπαλαῖσαι τοῦ γίγαντος, ἀκαταβλήτῳ τῇ δυνάμει· πάντα γὰρ εἶπας, δυνατὰ τῷ πιστεύοντι, καὶ ὡσεὶ ὄρος Σιὼν οὐ σαλευθήσεται· οὕτως ὁ νέος, τῆς ἀσεβείας πρηστὴρ Ἀπόστολος, τῶν πάλαι ἐδείχθη, ἐφάμιλλος στεφανίτης· καὶ τῷ Λειψάνῳ αὐτοῦ, οὐρανόθεν φωτοφόρον, τὰς διανοίας τῶν πιστῶν καταυγάζοντα, ἀστέρα κατέπεμψας· οὗ ταῖς πρεσβείαις οἰκτίρμον, καὶ ἡμῶν τὰς καρδίας στήριξον, τῆς ἀμωμήτου ἀντέχειν, καὶ θείας πίστεως.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον. Χαίροις ἀσκητικῶν. Ἦχος πλ.α΄.

Χαίροις ὁ νεομάρτυς Χριστοῦ, τῆς Βασιλίδος, τὸ θεόσδοτον ἔρεισμα, ἡ ἔνθεος εὐφροσύνη, ἡ θυμηδία σαφῶς, ἔθνους τοῦ ἁγίου, καὶ παράκλησις, ὁ χρόνος ὥσπερ ἀστήρ, ἀναλάμψας τοῖς ὕστερον, καταγλαΐζων τοῖς λαμπροῖς ἀγωνίσμασι, τὴν ὑφήλιον, καὶ σατὰν τοῦ δολίου βουλάς, ὁ κατασοφισάμενος, καὶ πλάνην πανάθεσμον, τῇ ἀνωτάτῳ ἐλέγξας, σοφίᾳ μάκαρ Ἀπόστολε, Χριστὸν ἐκδυσώπει, πειρασμῶν ἐκλυτρωθῆναι, τοὺς ἀνυμνοῦντάς σε.

Στίχος. Θαυμαστὸς ὁ Θεός.

Χαίροις ὁ νεομάρτυς Χριστοῦ, φιλαδελφίας, τὸ λαμπρὸν ἀπεικόνισμα, ὁ πύργος τῆς εὐσεβείας, ὁ ἐραστὴς ἀληθῶς, τῶν ὑπερκοσμίων ἐμφρωνέστατος· ἐξ ὕψους ὥσπερ φησί, ἐνδυσάμενος δύναμιν, τὰς παρατάξεις, τῶν ἀνόμων κατέβαλεν ἀνδρικώτατα· καὶ Χριστῷ τῷ Θεῷ ἱερόν, σφάγιον προσενήνεκται, θυσία εὐπρόσδεκτος, καὶ ὁλοκάρπωμα θεῖον, ᾧ μετὰ πόθου βοήσωμεν· Ἀπόστολε μάρτυς, τῷ Χριστῷ δεινῶν ῥυσθῆναι ἡμᾶς ἱκέτευε.

Στίχος. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Ἄνω μετὰ Ἀγγέλων συνών, καὶ τῶν μαρτύρων, νεομάρτυς Ἀπόστολε, Ὁσίων καὶ Ἀποστόλων, καὶ Προφητῶν τοῖς χοροῖς, καὶ τῇ Παντανάσσῃ Θεομήτορι· Χριστὸν τὸν φιλάνθρωπον, τὸν σαρκὶ ὁμιλήσαντα, διὰ τὸ σῶσαι, πεπτωκότα τὸν ἄνθρωπον, ἱκετεύοντες, ἀεννάως μὴ παύσησθε, πίστιν τὴν θεοδώρητον, ἡμῶν τὴν χριστώνυμον, τῶν ὀρθοδόξων στηρίξαι, ὡς ἀληθῶς ἐπηγγείλατο, ἡμῖν δὲ πταισμάτων, τὴν συγχώρησιν βραβεῦσαι, καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος δ΄

Ἐπέστη σήμερον ἐπέτειος ἡμῖν τοῦ ἀθλοφόρου, ἡ σεβάσμιος πανήγυρις· ἣν ἀξιοχρέως ἐπιτελοῦντες, ὕμνοις

καὶ ᾠδαῖς πνευματικαῖς, τοῦτον εὐφημήσωμεν λέγοντες· πανένδοξε μάρτυς τοῦ Χριστοῦ στεφανίτα Ἀπόστολε, ὁ τῆς νεότητος ἀλκήν, εἰς οὐδὲν λογισάμενος, διὰ τὴν πάντων, καὶ ἀθάνατον ζωήν· καὶ τῷ οἰκείῳ σου αἵματι, σεαυτῷ ἀλουργίδα, νυμφικὴν ἀπεργασάμενος· ἐναρμοσθεὶς τῷ ἀθανάτῳ Βασιλεῖ, εἰς οὐρανίους μονὰς κατεσκήνωσας· ὃν ἐκτενῶς ἀοίδιμε ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἀπολυτίκιον. Ἦχος α΄.

Τῆς ἄνω πολίτης, ἀνεδείχθης μακάριε, Ἱερουσαλὴμ νεομάρτυς, τῷ Βασιλεῖ παριστάμενος· καὶ γὰρ σὺ ἐνήθλησας στερρῶς, ἐχθρῶν παρεμβολὰς καταβαλών· ὑπὲρ τῶν ὑμνούντων σε πόθῳ, Χριστὸν δυσώπει τροπαιοφόρε Ἀπόστολε· δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ σὲ δοξάσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, πρέσβυν ἀκοίμητον.

Κάθισμα. Κατεπλάγη Ἰωσήφ. Ἦχος δ΄.

Ὡς ἀδάμας τηλαυγής, τοῦ νεομάρτυρος ἡμῖν, ἡ φωσφόρος ἑορτή, ἐπέστη πάντων τῶν πιστῶν, τῆς διανοίας τὰ ὄμματα φωταγωγοῦσα· νεώτατος γὰρ ὤν, τοῦ ἀρχεκάκου ἐχθροῦ, παντοίας μηχανάς, ποσὶ

συνέτριψε, καὶ ἐκτμηθεὶς τὴν κάραν κατεσκήνωσε, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν, ὃν καὶ πρεσβεύει ἀδιαλείπτως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον. Τὴν ὡραιότητα. Ἦχος γ΄.

Τὴν ἀθεώτατον πλάνην κατέβαλες, μάρτυς Ἀπόστολε, ἀγωνισάμενος, σοφὲ τῶν πάλαι μιμητά, μεγάλων θείων μαρτύρων· οἷς συναυλιζόμενος, τῶν ὑμνούντων σε μέμνησο, ζάλην τὴν ἐνσκήψασαν, ἐν ἡμῖν σκεδαννύμενος, λιταῖς σου στεφηφόρε ἀπαύστοις, πρὸς Κύριον τὸν τοῦ παντὸς Δεσπότην.

Ἕτερον. Ἐπεφάνης σήμερον. Ἦχος δ΄.

Ἡ σεπτή σου ἅγιε, καὶ θεία κάρα, τὰς ἰάσεις ἅπασι τοῖς προσιοῦσι δαψιλῶς, προχέει μάρτυς Ἀπόστολε, διό σε πίστει καὶ πόθῳ γεραίρομεν.

Καὶ τῆς Ἑορτῆς.

Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς, κατ᾽ Ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος πλ.δ΄.

Ὠδὴ Α΄ Ἁρματηλάτην Φαραώ.

Ἄνωθεν πᾶσα τοῖς ἀνθρώποις δέδοται, δόσις Υἱὲ τοῦ Θεοῦ, ἀγαθὴ καὶ θεῖον, δώρημα καὶ τέλειον, καὶ νῦν ἐφιεμένῳ μοι, Ἀποστόλου ὑμνῆσαι, τοῦ νεομάρτυρος δώρησαι, χάριν τοὺς ἀγῶνας φιλάνθρωπε.

Βλάστημα θεῖον Θετταλίας ἔνδοξε, καὶ τοῦ Πηλίου ὡς ὤν, Ὄρους πρὸς τὰ ὄρη ἐναθλῶν ἀνέδραμες, θεόφρον τὰ αἰώνια, ἔνθα ἠκουσται ἦχος, ἑορταζόντων μακάριε, καὶ εὐφραινομένων Ἀπόστολε.

Γόνος ἐδείχθης εὐσεβούντων ἅγιε, τῶν ἀσεβῶν τὰς βουλάς, γόνων τῶν τῆς Ἄγαρ, ἀνδρικῶς κατέβαλες, σθενούμενος πανεύφημε, τοῦ σταυροῦ τῇ δυνάμει, τοῦ μαρτυρίου κεκόσμησαι, στέφει πρὸς Χριστοῦ γενναιότατε.

Θεοτοκίον.

Ἱλέῳ Μῆτερ τοῦ Θεοῦ τῷ ὄμματι, ἔπιδε νῦν ἐπ' ἐμοί, καὶ τῇ χάριτί σου, ἀνυμνῆσαι σθένωσον, τοῦ καλλινίκου μάρτυρος, Ἀποστόλου τοῦ νέου, ἐν τῇ ἡμέρᾳ τὰ ἔπαθλα, τῆς αὐτοῦ λαμπρᾶς τελειώσεως.

## Ὠδὴ Γ΄ Οὐρανίας ἀψίδος.

Διπλοΐδα τὴν θείαν, πεπλουτηκὼς ἔσπευδες, τὴν πρὸς τὸν πλησίον ἀγάπην, ἔργῳ δεικνύμενος, καὶ τῇ πρὸς τὸν

Κύριον, διακαιόμενος ἅμα, πρὸς Χριστὸν μακάριε θῦμα ἑκούσιον.

Ἐπὶ βήματος μάρτυς, τῶν ἀσεβῶν ἵστασο, ὥσπερ θεῖον ὄργανον μέλπων τὰ ἐπουράνια, Χριστὸν Ἀπόστολε, ὁμολογῶν ὡς Σωτῆρα, καὶ Θεὸν τοῦ σύμπαντος ἀειμακάριστε.

Ζέων ὅλος ὡράθης, τῷ πρὸς Χριστὸν ἔρωτι, τῶν ὑπεναντίων θεόφρον κλεινὲ Ἀπόστολε, δόλους καὶ ἔνεδρα, ὑπερβαλῶν τῆς ἀμείνω, πολιστὴς ἐνδέδειξαι μακαριότητος.

Θεοτοκίον.

Λύσιν Κόρη παράσχου, τῷ ἐπὶ σοὶ Δέσποινα, τὴν ἐλπίδα πᾶσαν θεμένῳ τῆς σωτηρίας μου, τῶν ἐπταισμένων μοι, σὺν τῷ κλεινῷ στεφανίτῃ, τῷ Χριστῷ πρεσβεύοντες ἀεὶ μὴ παύσησθε.

Ὠδὴ Δ΄ Εἰσακήκοα Κύριε.

Ἡρετίσω Ἀπόστολε, τοῦ θανεῖν μακάριε, ἢ ἀπόλαυσιν, ἁμαρτίας ἔχειν πρόσκαιρον, ἐν τοῖς ἀσεβῶν ἐνδιαιτήμασι.

Θεοφρόνως ἐξήλεγξας, τοῦ Μωάμεθ πλάνην τὴν ψυχώλεθρον, ὁ Χριστὸς δὲ σὲ ἠμείψατο, οὐρανίῳ στέφει παναοίδιμε.

Ἱερεῖον προσήνεξαι, τῷ σφαγιασθέντι Χριστῷ Ἀπόστολε, διὰ σέ, ὃν καθικέτευε, ὑπὲρ τῶν ἐν πίστει γεραιρόντων σε.

Θεοτοκίον.

Ἀπορρήτως ἐκύησας, τὸν πρὸ τῶν αἰώνων Λόγον θεόνυμφε, προελθόντα τοῦ Γεννήτορος, ἐκ τῶν κόλπων σῶσαι τὸ ἀνθρώπινον.

## Ὠδὴ Ε΄ Ἵνα τί με ἀπώσω.

Καθειρχθεὶς καλλιμάρτυς, ἐν δεσμωτηρίῳ αἰκισμοὺς ὑπέμενες, ἐν χωνευτηρίῳ, καθαρὸν ὡς χρυσίον Ἀπόστολε, ὑπὲρ τῆς ἀγάπης, τοῦ τῶν ἁπάντων Βασιλέως, καὶ Σωτῆρος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Λάμπων οἷαπερ ὤφθης, ἄστρον καταυγάζον διανοίας ἅγιε, τῶν πιστῶν τοῖς ἄθλοις, οἷς προθύμως σαυτὸν παραδέδωκας, καὶ θεοσημείαις, καταγλαΐζων ἀεννάως, Ἐκκλησίας πιστῶν τὸ στερέωμα.

Μιμητὴς ἀνεδείχθης, μεγαλομαρτύρων ἀθλητὰ Ἀπόστολε, τῶν ἐχθρῶν τὰ θράση, εὐθαρσῶς καταρράσων ἀοίδιμε, καὶ τῶν χριστωνύμων, ὑψῶν τὸ κέρας τοῖς σεπτοῖς σου, καὶ ἐνθέοις σοφὲ ἀγωνίσμασι.

Θεοτοκίον.

Ῥύπου δίχα Παρθένε, τὸν Θεὸν ἐν μήτρᾳ σου φωνῇ συνέλαβες, τῇ τοῦ Ἀρχαγγέλου, καὶ ἀφθόρως τεκοῦσα διέμεινας, ὥσπερ πρὶν Παρθένος, ὅνπερ Παρθένε ἐκδυσώπει, ἐν τῇ κρίσει εὑρεῖν ἡμᾶς ἔλεος.

## Ὠδὴ ΣΤ΄ Ἱλάσθητί μοι Σωτήρ.

Νεόφυτον ἐκλεκτόν, ἐν τῇ χορείᾳ πανεύφημε, ὡράθης τῶν τοῦ Χριστοῦ, μαρτύρων Ἀπόστολε, ἐκτομῇ τῆς κάρας σου, καταυγάζων πάντας, τοὺς πιστῶς ὑμνολογοῦντάς σε.

Ξενία ὥσπερ Μητρί, τῇ Βασιλίδι τῶν πόλεων, προσήνεγκας ἐν αὐτῇ, κρουνοὺς τῶν αἱμάτων σου, τῷ Χριστῷ ὃν μέλπουσα, ἐπευφραινομένη, ἐπὶ τέκνοις μάρτυς ἔνδοξε.

Ὁ τῶν μαρτύρων χορός, ἐν τῷ σταδίῳ ἀνέμελπε, αἰνέσεως τῇ φωνῇ, Πατέρα τὸν Ἄναρχον, καὶ Υἱὸν καὶ Ἅγιον, Πνεῦμα τῆς Τριάδος, τὸ τῆς πίστεως μυστήριον.

## Θεοτοκίον.

Ἰάματα τῶν ψυχῶν, καὶ τῶν σωμάτων Πανάχραντε, ἀεὶ βραβεύεις ἡμῖν, τοῖς τῷδε τῷ Ὄρει σου, ἐνοικοῦσι πίστει τε, ἀνυμνολογοῦσι, τοῦ σοῦ τόκου τὸ μυστήριον.

## Κοντάκιον. Τὸν τάφον σου Σωτήρ.

Ἀπόστολε σοφέ, σῶν αἱμάτων τοῖς ῥείθροις, ἐχθρῶν παρεμβολάς, καθηδάφισας ὅθεν, τὴν θείαν σου ἔνδοξε, ἐκτελοῦντες πανήγυριν, τὸν φιλάνθρωπον, Χριστὸν ἱκέτευε δοῦναι, τοῖς ὑμνοῦσί σε, κλέος πιστῶν νεομάρτυς, πταισμάτων τὴν ἄφεσιν.

## Ὁ Οἶκος.

Τὴν τοῦ νέου ἀθλοφόρου ἐτήσιον μνήμην, πόθῳ ἐκτελοῦντες οἱ πιστοί, ἐν ὕμνοις καὶ ᾄσμασι καὶ ᾠδαῖς πνευματικαῖς, παρρησίαν αὐτοῦ τὴν ἀνένδοτον, καὶ πολυήμερον κάθειρξιν, καὶ μάστιγας καὶ λοιπὰς βασάνους, αἷς τὸν δόλιον κατήσχυνε, καὶ τὴν ἀμώμητον πίστιν, ἣν λαμπρῶς ἀνεκήρυξε, καὶ τὴν ἐκτομὴν τῆς κάρας αὐτοῦ· τὴν γὰρ ἄθεον πλάνην, τῶν τῆς Ἄγαρ ἀπογόνων διελέγξας, στέφος τὸ ἀμάραντον, παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀνεδήσατο· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, ἡμῖν δοῦναι πταισμάτων τὴν ἄφεσιν.

## Ὠδὴ Ζ΄ Παῖδες Ἑβραίων.

Παῖς ἔτι ὢν γενναιοφρόνως, τὸν ἀρχέκακον κατήσχυνας ἐκχύσει, σῶν αἱμάτων σοφέ, καὶ πίστει ἀνεβόας, εὐλογητός εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ῥῶσιν καὶ ἴασιν παρέχεις, τοῖς ἐν πίστει τῇ σορῷ σου προσιοῦσι, καὶ ποικίλλων δεινῶν, ἀπαλλαγὴν ὡς μάρτυς, τοῦ Ἰησοῦ Ἀπόστολε, καὶ Θεοῦ τοῦ φιλανθρώπου.

Σῶζε τοὺς πόθῳ ἐκτελοῦντας, σοῦ τὴν μνήμην Ἀπόστολε παντοίων, ἐκ κινδύνων καὶ δός, τῆς μετανοίας βαίνειν, ταῖς τρίβοις παμμακάριστε, ἱκεσίαις σου ἀπαύστοις.

Θεοτοκίον.

Ὤφθης ἑτοίμη Παναγία, τοῖς προστρέχουσι βοήθεια σωμάτων, καὶ ψυχῶν τε ὁμοῦ, ἐξαίρουσα τὰς νόσους, καὶ τῶν πταισμάτων ἄφεσιν, χορηγοῦσα τοῖς αἰτοῦσι.

Ὠδὴ Η΄ Ἑπταπλασίως κάμινον.

Τυραννικῶν ἱστάμενος, πρὸ βημάτων Ἀπόστολε, τὰς τῶν ἀσεβούντων, κολακείας ἔτρεψας, τοῖς ἄνω ἀοίδιμε, καὶ ἀθανάτοις ἐπιποθῶν, τούτων ἀπειλάς, καὶ τῶν βασάνων ἰδέας, καταφρονῶν ὡράθης, τῷ Χριστῷ ἀναμέλπων, τὸν Κύριον ὑμνεῖτε, λαοὶ εἰς τοὺς αἰῶνας.

Ὑπερνεφὴς μακάριε, τηλαυγὴς κατενήνεκται, τῷ σφαγιασθέντι, τιμίῳ λειψάνῳ σου, ἀστὴρ παμφαέστατος, σταυροῦ τὸ σύμβολον ἐκτυπῶν, ὅνπερ τῶν πιστῶν,

κατανοοῦντες τὰ πλήθη, τὸν Κύριον ὑμνεῖτε, ἀνεβόων ἐν πίστει, λαοὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Φιλομαρτύρων ἅπασαι, αἱ χορεῖαι συνέλθωμεν, ἐν τῷ πανιέρῳ, Ἄννης τῆς προμήτορος, ναῷ ἀναμέλποντες, τῷ νεομάρτυρι τοῦ Χριστοῦ, ὕμνοις καὶ ᾠδαῖς τοῦτον γεραίροντες πόθῳ, Ἀπόστολε τρισμάκαρ, τῷ Χριστῷ ὑπερεύχου, τοῖς ὑμνωδοῖς σου δοῦναι, τὴν ἄφεσιν πταισμάτων.

### Θεοτοκίον.

Νεομαρτύρων Δέσποτα, Παντοκράτορ φιλάνθρωπε, ἱκεσίας δέχου, καὶ τῆς Θεομήτορος, εὑρεῖν ἡμᾶς ἔλεος, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ, ὅπως σοι ᾠδήν, τῶν παίδων ψάλλωμεν πίστει, τὸν Κύριον ὑμνεῖτε, τῶν ὁσίων τε δῆμοι, ἀεὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

### ᾨδὴ Θ΄ Ἐξέστη ἐπὶ τούτῳ.

Χαρᾷ καὶ εὐφροσύνῃ πνευματικῇ, τὴν πανέορτον μνήμην σου ἄγοντες, μαρτυρικῶν, θείων ἐξαιτούμεθα πρεσβειῶν, Ἀπόστολε μακάριε, τουτονὶ τὸν δίαυλον εὐσεβῶς, τελέσαι καὶ τῆς ἄνω, ζωῆς ἀξιωθῆναι, οἱ ἐπαξίως σε γεραίροντες.

Ψυχῶν σε καὶ σωμάτων ὡς ἰατρόν, ἐγνωκότες ἀείμνηστε ἄμισθον, πόθῳ τὴν σήν, κάραν ἀσπαζόμεθα εὐλαβῶς, καὶ πίστει ἐξαιτούμεθα, ἐξ ἐχθρῶν ἐκλύτρωσαι ὁρατῶν, ὁμοῦ καὶ ἀοράτων, ἐξ ἐπηρείας πάσης, ἵνα σε πίστει μεγαλύνωμεν.

Ὡς μάρτυς τῷ Κυρίῳ παρεστηκώς, σὺν μαρτύρων χοροῖς καὶ στρατεύμασι, ἐν οὐρανοῖς, πάντων τῶν ἁγίων τοῦτον ἀεί, Ἀπόστολε ἱκέτευε, πίστην τὴν ὀρθόδοξον ἀκλινῶς, ἡμᾶς διατηρῆσαι, αὐτοῦ τε φιλανθρώπως, τῆς Βασιλείας ἀξιώσασθαι.

Θεοτοκίον.

Μαρία τὸ γλυκύτατον καὶ βροτοῖς, καὶ Ἀγγέλοις πανάγιον ὄνομα, καὶ φοβερόν, τοῖς ὑπεναντίοις κλῆρον τὸν σόν, τοῦ Ἄθω διαφύλαττε, ἐσαεὶ ἀλώβητον ἐξ ἐχθρῶν, τῆς πίστεως καὶ δίδου, ἡμᾶς ἐκλυτρωθῆναι, τῆς αἰωνίου κατακρίσεως.

Ἐξαποστειλάριον.
Ἀπόστολοι ἐκ περάτων.

Ἀπόστολε νεομάρτυς, τῆς Θετταλίας τὸ θρέμμα, καὶ Βασιλίδος τὸ κλέος, καὶ τέκνον τῆς οὐρανίου, πόλεως μὴ διαλείπῃς, ἡμᾶς φρουρεῖν ταῖς εὐχαῖς σου.

## Εἰς τοὺς Αἴνους. Προσόμοια. Ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Τοῦ νεομάρτυρος μνήμην, τὴν πανεόρτιον, ἐπιτελοῦντες πόθῳ, καὶ χαρᾷ ἐκβοῶμεν, Ἀπόστολε τρισμάκαρ τῶν ἀσεβῶν, ὀλετὴρ ἐκχρημάτισας, τῶν χριστωνύμων δὲ φύλαξ καὶ πρεσβευτὴς, καὶ προστάτης ἑτοιμότατος.

Τῆς Θετταλίας τὸ βλάστημα, τὸ σεμνότατον, καὶ Βασιλίδος κλέος, καὶ Χριστοῦ Ἐκκλησίας, ἀγλάϊσμα Ἀπόστολε ἀθλητά, καὶ πιστῶν τὸ διάσωσμα, καὶ Βασιλείας τῆς ἄνω ὡς ἀληθῶς, κληρονόμος παμμακάριστε.

Ἐν εὐφροσύνῳ ἡμέρᾳ τῆς πανηγύρεως, τοῦ νέου ἀθλοφόρου, φαιδρυνθῶμεν οἱ πάντες, ἑόρτια κροτοῦντες, καὶ τὴν αὐτοῦ, κορυφὴν καταστέφοντες, ἐν ἐγκωμίοις καὶ ὕμνοις πνευματικοῖς, ὡς Χριστοῦ μεγαλομάρτυρα.

## Δόξα. Ἦχος πλ.δ΄.

Τὸν τοῦ Χριστοῦ στρατιώτην, καὶ ἀήττητον ἀθλοφόρον, συνελθόντες οἱ πιστοί, πνευματικῶς πανηγυρίσωμεν· οὗτος γάρ, ὁ τῆς ἀληθείας διαπρύσιος κῆρυξ, τῷ ξίφει τῶν λόγων, μισόθεον πλάνην, τοῦ ἀντιχρίστου Μωάμεθ, λαμπρῶς διεχειρίσατο· καὶ ἀφορήτοις βασάνοις προσομιλῶν, καὶ κεφαλῆς τῇ

ἐκτμήσει, ἐν ταῖς μοναῖς τῶν ἐκλεκτῶν, εἰς οὐρανοὺς κατεσκήνωσε· καὶ σὺν χορείαις νῦν τῶν μαρτύρων, Χριστῷ τῷ ἀγωνοθέτῃ, πεφοινιγμένῃ τῇ στολῇ ἐξ οἰκείων αἱμάτων, ἐν εὐφροσύνῃ παριστάμενος, τῶν Ἀποστόλων ὁ συνώνυμος, ἀδιαλείπτως πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. τῆς Ἑορτῆς.

Μεγαλυνάριον.

Θετταλίας βλάστημα ἱερόν, καὶ τῆς Βασιλίδος, κλέος ἄφθιτον καὶ τερπνόν, καὶ τῆς Ἐκκλησίας, προπύργιον καὶ πρέσβυς, ὑμῶν τῶν σὲ ὑμνούντων, μάρτυς Ἀπόστολε.



ΛΟΘΗΚΗ
ΥΠΗΛΙΑΚΗ ΚΙΒΩΤΟΣ